# 0295-0373 - Athanasius Alexandrinus - Magnus - Sermo pro iis qui saeculo renuntiarunt

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright. On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site. Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality, serial number '2035 101 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances. Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

Sermo pro iis qui saeculo renuntiarunt

[00001] ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΑΘΑΝΑΣΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

[00002] Λόγος διακριτικὸς, καὶ εἰς τὰς ἐντολὰς τοῦ Θεοῦ τοῖς ἀποταξαμένοις καὶ σωθῆναι θελουμένοις

[00003] Ἀγαπητοὶ, φροντίσωμεν τῆς σωτηρίας ἡμῶν, ὅτι ὁ καιρὸς συνεσταλμένος ἐστὶ λοιπόν·

[00004] καὶ οὐ δύ ναταί τις φροντίσαι τῆς ἑαυτοῦ ψυχῆς, ἕως οὗ φρον τίζει τὰ τοῦ σώματος.

[00005] Ὥσπερ γὰρ οὐ δύναταί τις προσέχειν ἐν ἑνὶ ὀφθαλμῷ εἰς τὸν οὐρανὸν, καὶ ἐν ἑνὶ ἐπὶ τὴν γῆν·

[00006] οὕτως οὐ δύναται ἄνθρωπος φροντίσαι τὰ τοῦ Θεοῦ καὶ τὰ τοῦ σώματος.

[00007] Ὥσπερ οὐ δύναται πηγὴ ἐκ τῆς αὐτῆς ὀπῆς ἐξενεγκεῖν ὕδωρ γλυκὺ καὶ πικρὸν, οὕτως οὐ δύναται ἄνθρωπος καὶ Θεῷ ἀρέσκειν, καὶ σαρκὸς ἐπιθυμίας ἐπιτελεῖν.

[00008] Ὥσπερ οὐ δύναται ἄκανθα καρπὸν ἐλαίου προβάλλεσθαι, οὕτως οὐ δύνα ται ἄνθρωπος καὶ τὰ οὐράνια ζητεῖν, καὶ τὰ ἐπίγεια ποθεῖν, καθὼς φησιν ὁ Κύριος·

[00009] Οὐ δύνασθε καὶ Θεῷ ἀρέσκειν, καὶ σαρκὸς ἐπιθυμίας ἐπιτελεῖν.

[00010] Ὅθεν καὶ ὁ ἀπόστολος Παῦλος ἀκούσας ταῦτα, καὶ ἐκκόψας αὐ τοῦ πάντα τὰ τῆς σαρκὸς φρονήματα, φησί·

[00011] «Δι' ὃν πάντα ζημιοῦμαι, ἵνα Χριστὸν κερδήσω,» καὶ αὐτῷ συμβασιλεύσω.

[00012] «Ἔχοντες δὲ διατροφὰς καὶ σκεπά σματα, τούτοις ἀρκεσθησώμεθα.

[00013] Οἱ γὰρ βουλόμενοι πλουτεῖν ἐμπίπτουσιν εἰς πειρασμὸν, καὶ παγίδα δια βόλου, καὶ ἐπιθυμίας ἀτόπους.».

[00014] Σὺ δὲ, ὦ ἀδελφὲ, μὴ προσέχης τι τοῦ κόσμου τούτου, ἵνα δυνηθῇς σωθῆναι, ἀλλὰ ἄσκησον δικαιοσύ νην, καὶ ἀλήθειαν, καὶ ἀγάπην, καὶ φόβον Κυρίου, καὶ πραότητα, ὑπακοὴν, καὶ ἐγκράτειαν, καὶ ἀμνησι κακίαν.

[00015] Μίσησον λόγους κοσμικοὺς, ἵνα καρδία σου ὄψηται τὸν καλόν.

[00016] Ἀγάπησον τὸ συνεχῶς προσεύ χεσθαι, ἵνα φωτισθῇ σου ἡ καρδία.

[00017] Διάδος ὑστερουμένοις ὀφθαλμῷ πλουσίῳ, ἵνα μὴ καταισχυνθῇς ἔμ προσθεν τοῦ βήματος τοῦ Χριστοῦ·

[00018] μίσησον τὴν ἐπιθυμίαν ἐν τοῖς βρώμασιν, ἵνα μὴ ὁ Ἀμαλὴκ τῶν παθῶν κυκλώση σε.

[00019] Γοργεύου ἐν ταῖς προσευχαῖς, ἵνα μὴ καταφάγη σε τὸ θηρίον.

[00020] Φεῦγε τὸν οἶνον, ἵνα μὴ στερηθῇς τῆς εὐφροσύνης τοῦ Θεοῦ.

[00021] Ἀγάπησον [28.1412] τοὺς πιστοὺς, ἵνα διὰ αὐτῶν ἐλεήσης.

[00022] Πόθησον τοὺς ἁγίους, ἵνα ὁ ζῆλος αὐτῶν ἑλκύσῃ σε πρὸς ἀρετήν.

[00023] Μνη μόνευε τῆς ἐξόδου τῆς ψυχῆς σου, καὶ οὐχ ἁμαρτήσεις πολλὰ πρὸς Θεόν·

[00024] ἀναμιμνήσκου ἀεὶ τὴν τῶν οὐρα νῶν βασιλείαν, ἵνα ἡ ἐπιθυμία αὐτῆς ἑλκύσῃ σε πρὸς αὐτήν·

[00025] διαλογίζου τὴν γέενναν τοῦ πυρὸς, καὶ τῶν βασάνων τῶν δεινῶν, ἵνα μισήσῃς τὰ ἔργα τὰ πονηρά.

[00026] Ἑτοίμαζε οὖν σεαυτῷ καθ' ἡμέραν ὑπαντῆσαι Χρι στῷ·

[00027] μέλλει γὰρ ἀοράτως ἔρχεσθαι.

[00028] Καθ' ἑκάστην ἡμέραν ἀνάκρινε σεαυτὸν ἐκ τῶν ἐντολῶν τοῦ Χριστοῦ, τί ὑστέρησας, καὶ ἀνοικοδόμει αὐτό.

[00029] Ἴδωσιν οἱ ἀδελφοί σου τὰ ἔργα σου, καὶ ὁ ζῆλος ὁ κατὰ Θεὸν κα ταφάγεται αὐτούς.

[00030] Ἐρεύνησον σεαυτὸν καθ' ἑκάστην ἡμέραν, ποῖον πάθος ἐνέκρωσας, καὶ δὸς δόξαν τῷ Θεῷ·

[00031] αὐτοῦ γάρ ἐστι τὸ ἔλεος.

[00032] Μὴ λογίζου ἑαυτὸν ὡς κατορθώσαντα τὸ ἀγαθὸν ἐνώπιον τοῦ Θεοῦ·

[00033] φησὶ γάρ·

[00034] «Ὅταν πάντα ποιήσητε, τότε λέγετε, ὅτι Ἀχρεῖοι δοῦλοί ἐσμεν.».

[00035] Μὴ ὑψηλοφρονήσῃς, ὅτι ἀπ' ἄρτι καλὸς εἶ·

[00036] οὐ γὰρ δύνῃ πιστεῦσαι ἑαυτὸν τοῖς ἐχθροῖς σου.

[00037] Μὴ θαῤῥήσῃς ἑαυτοῦ τῷ σώματι.

[00038] Ὁ φοβούμενος τοὺς δαίμονας δῆλον ἑαυτὸν ποιεῖ, ὅτι οὐκ ἔστι φόβος Θεοῦ ἐν αὐτῷ.

[00039] Ὁ γὰρ φοβούμενος τὸν Θεὸν ἐξ ὅλης αὐτοῦ τῆς καρδίας ἑδραῖός ἐστιν ἐπ' αὐτοῖς.

[00040] Τὸ μὴ μετρῆσαι ἑαυτὸν, ἀλλ' ἑαυτὸν ἔχειν ἄγνωστον, φα νεροῖ τῷ ἀνθρώπῳ, ὅτι οὐ ζητεῖ ποιῆσαι τὸ ἑαυτοῦ θέλημα, ἀλλὰ τὸ τοῦ Θεοῦ.

[00041] Ὁ λέγων τὸν λόγον αὐτοῦ ἐπὶ πολλῶν, δῆλον ἑαυτὸν ποιεῖ, ὅτι οὐκ ἔστι φόβος Θεοῦ ἐν αὐτῷ.

[00042] Ὁ βουλόμενος σωθῆναι σχολάσει τῷ Θεῷ, καὶ καταπατήσει τὰ πάθη.

[00043] Τὸ φροντίσαι ἐν γνώ σει ἐκδιώκει τὰ πάθη·

[00044] γέγραπται γάρ·

[00045] «Φροντὶς ἐπελεύσεται ἐπ' ἄνδρα σοφόν.».

[00046] Ὥσπερ ἡ ἀκηδία βοηθειά ἐστι τῶν παθῶν, οὕτω καὶ ἡ μακροθυμία δύ ναμίς ἐστι τῶν ἀρετῶν.

[00047] Τὸ μὴ κρίνειν ἄνθρωπον τεῖ χός ἐστιν ἀντίτητον·

[00048] τὸ δὲ ψέξαι ἢ καταλαλῆσαι ἀπώλειαν τῇ ψυχῇ κατεργάζεται.

[00049] Τὸ κρατῆσαι τῆς γλώττης δηλοποιεῖται, ὅτι πρακτικός ἐστι μὲν ταῖς ἀρεταῖς·

[00050] ἡ δὲ ἀπαιδευσία τῆς γλώσσης σημαίνει, ὅτι οὐ κέκτηται ἀρετὴν ἔνδοθεν.

[00051] Ἡ ἐν γνώσει ἐλεημοσύνη τίκτει τὸ προορᾷν, καὶ ὁδηγεῖ εἰς τὴν ἀγάπην·

[00052] ἡ δὲ ἀνελεημοσύνη τίκτει τὴν ἀπανθρωπίαν.

[00053] Μήτηρ ἀρετῶν ἐστιν ἡ συμπάθεια·

[00054] πλήρωμα δὲ κακῶν ἡ ἀνυποταξία.

[00055] Ἡ ἀγαθότης τίκτει τὴν ἁγνείαν·

[00056] ἡ δὲ ὀξυχο λία τίκτει τὰ πάθη.

[00057] Ἡ σκληροκαρδία τίκτει τὴν ὀργήν·

[00058] ἡ δὲ ἀκηδία τίκτει τὴν ἔνδειαν.

[00059] Κόρος ὕπνου ταραχὴ παθῶν·

[00060] σωτηρία δὲ ψυχῆς ἀγρυπνία ἔμμετρος.

[00061] Ὕπνος ἐν κόρῳ πλῆθος φαντασιῶν·

[00062] ἄνθος δὲ τοῦ νοῦ, ἀγρυπνία ἐν προσευχῇ.

[00063] Πολὺς ὕπνος παχύνει καρδίαν, ἀγρυπνία δὲ λεπτύνει αὐτήν·

[00064] ἀγρυπνίαν δὲ λέγω τὴν κατὰ Θεὸν γινομένην ἐν ψαλμοῖς, καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς.

[00065] Ἀγαθὸς γὰρ ὕπνος ἐν σιωπῇ τῶν ἀγρυπνούντων ἐν ματαιολογίᾳ.

[00066] Τὸ πένθος ἐκδιώκει τὰ πάθη, τὸ δὲ γέλως χω ρίζει ἀπὸ Θεοῦ.

[00067] Τὸ μὴ πλῆξαι ἄνθρωπον τίκτει τα πείνωσις·

[00068] ἡ δὲ δόξα τῶν ἀνθρώπων τίκτει τὴν ὑπερ [28.1413] ηφανίαν.

[00069] Ἡ ἀοργησία τίκτει τὴν πραότητα·

[00070] ἡ δὲ μνησικακία τίκτει τὴν ἀπώλειαν.

[00071] Τὸ ἀγαπᾷν τὸν πλατυσμὸν ἐκδιώκει τὰς ἀρετάς·

[00072] ἡ δὲ στενοχωρία ταπεινοῖ τὰ πάθη.

[00073] Ἡ ἐπιθυμία τῶν ἐδεσμάτων δι άγει εἰς τὰ πάθη·

[00074] ἡ δὲ ἐγκράτεια ἐκδιώκει αὐτά.

[00075] Κό σμησις σώματος, ψυχῆς καταστροφή·

[00076] τῆξις δὲ σώμα τος, ἀνακαινισμὸς ψυχῆς.

[00077] Περιφρόνησις σώματος, σω τηρία ψυχῆς·

[00078] ἐπιμέλεια δὲ σώματος, παγὶς τῇ ψυχῇ.

[00079] Τῆξις δὲ σώματος φωτισμὸς ψυχῆς.

[00080] Τὸ προσέχειν τὸν νοῦν ἄνω πάντοτε, τίκτει τὴν ἀγάπην τὴν πρὸς Θεόν·

[00081] ἡ δὲ μέριμνα τοῦ βίου ἐκδιώκει τὰς ἀρετάς.

[00082] Τὸ φυλά ξαι τὸ στόμα, διεγείρει τὴν διάνοιαν πρὸς τὸν Θεόν·

[00083] ἡ δὲ πολυλογία τίκτει τὴν ἀκηδίαν καὶ τὴν μανίαν.

[00084] Τὸ ποιῆσαι τὸ θέλημα τοῦ πλησίον, σημαίνει ὁ νοῦς βλέπειν τὰς ἀρετάς·

[00085] τὸ δὲ ποιῆσαι τὸ ἴδιον θέλημα, σημαίνει τὴν ἄγνοιαν.

[00086] Ἡ μελέτη ἐν φόβῳ, φυ λάσσει τὴν ψυχὴν ἀπὸ παντὸς κακοῦ·

[00087] τὸ δὲ λαλεῖν τοὺς κοσμικοὺς λόγους σκοτίζει τὴν ψυχήν.

[00088] Τὸ ἀγαπᾷν τὴν ὕλην τοῦ κόσμου, χωρίζει ἀπὸ τοῦ Θεοῦ τὸν νοῦν·

[00089] ἡ δὲ ἀκτημοσύνη παῤῥησίᾳ βλέπει τῷ Θεῷ.

[00090] Τὸ μὴ ἐξάξαι τοὺς λογισμοὺς δηλοποιεῖται, ὅτι ἐκζητεῖ τὴν δόξαν τοῦ κόσμου τούτου τὴν αἰσχρὰν καὶ ματαίαν·

[00091] τὸ δὲ γνωρίσαι αὐτὰ πνευματικοῖς πατράσιν, ἐκδιώ κει αὐτά.

[00092] Ὥσπερ ὁ ἰὸς βιβρώσκεται ὁ μοναχὸς ὑπὸ τὴν δόξαν τῶν ἀνθρώπων, ἐὰν ἡ καρδία αὐτοῦ συμ πεισθῇ αὐτῷ.

[00093] Ὥσπερ σκώληξ, ἤτοι σμίλαξ, συμπλακεὶς τῇ ἀμπέλῳ, ἀφανίζει τὸν καρπὸν αὐτῆς·

[00094] οὕτως ἀφανίζει κενοδοξία τὸν καρπὸν τοῦ μοναχοῦ, ἐὰν ἡ καρδία αὐτοῦ συμπεισθῇ αὐτῇ.

[00095] Πρὸ πάντων τῶν ἀρετῶν ἐστιν ἡ ταπεινοφροσύνη·

[00096] πρὸ δὲ πάντων τῶν παθῶν ἐστιν ἡ γαστριμαργία.

[00097] Τέλος ἀρετῶν, ἀγάπη·

[00098] πλήρωμα δὲ κακῶν, τὸ ἑαυτὸν λογίσασθαι εἶναι δίκαιον.

[00099] Ὥσπερ σκώληξ κατεσθίων ξύλον ἀφανίζει αὐτὸ, οὕτως ἀφανίζει μνησικακία τὴν ψυχὴν τοῦ μοναχοῦ.

[00100] Τὸ παραῤῥίψαι ἑαυτὸν ἐνώπιον τοῦ Θεοῦ, τίκτει τὸ ὑπο φέρειν ὕβριν ἀταράχως·

[00101] τὸ δὲ μὴ ἐξουθενεῖν ἑαυτὸν, τίκτει τὴν ὑπερηφανίαν.

[00102] Μὴ ἔσο πεποιθὼς ἐπὶ τῇ σῇ δυνάμει, καὶ ἡ βοήθεια τοῦ Θεοῦ παροικήσει σοι.

[00103] Μὴ ἔχε ἔχθραν μετά τινος, ἐπεὶ ἀπρόσδεκτός ἐστιν ἡ προσ ευχή σου.

[00104] Ἀλήθειαν ἀγάπα·

[00105] τῆς γὰρ ψευδόμενος ἀθετεῖ τὸν καλόν.

[00106] Φύλαξον τοὺς ὀφθαλμούς σου, καὶ ἡ καρδία σου οὐ μὴ ἴδη πονηρόν.

[00107] Ὁ γὰρ βλέπων γυναῖκα ἐν ἡδονῇ, μοιχείαν ἐπιτελεῖ.

[00108] Φύλασσε τὴν ἀκοήν σου, ἵνα μὴ ἐπισυνάξῃς σεαυτῷ πάντα πονηρὸν σπόρον.

[00109] Φεύξου ἀπὸ καταλαλιᾶς τοῦ πονηροτάτου δαίμονος, καὶ εἰρήνευε μετὰ πάντων, ἵνα παῤῥησιάσῃ εὐχόμενος.

[00110] Μὴ ἐπιποθῇς ἀκοῦσαι βλάβην λύπης παντὸς ἀνθρώπου, ἵνα μὴ ἀνταποδώσεις αὐτὸν ἐν τῇ καρδίᾳ σου.

[00111] Ἐργά ζου ἐν τῷ ἐργοχείρῳ σου, ἵνα εὕρῃ πτωχὸς σὸν ἄρτον·

[00112] ἡ γὰρ ἀργία θάνατός ἐστι τῇ ψυχῇ.

[00113] Τὸ συνεχῶς προσεύχεσθαι λυτροῦται τὴν ψυχὴν ἀπὸ παντὸς κα κοῦ.

[00114] Τὸ δὲ καταμικραμελῆσαι, οἰκητήριον τῶν δαι μόνων ἀποκαθίσταται.

[00115] Καθήμενος ἐν τῷ κελλίῳ σου τῶν ποτε τούτων φρόντιζε συνεχῶς·

[00116] τῆς εὐχῆς, καὶ τῆς μελετῆς, καὶ τοῦ ἐργοχείρου.

[00117] Καθ' ἑκάστην ἡμέραν μνημόνευε, ποῦ εἶς, καὶ τί ἐργάζῃ, καὶ ὅταν μεταστῇς, ποῦ ἔχεις ἀπελθεῖν, καὶ πρόσεχε σεαυτῷ.

[00118] Ἐὰν ὁ λογισμός σου ὕζει σε, ὅτι ἔχει τις κατὰ σοῦ, [28.1416] μὴ καταφρονήσῃς αὐτῷ, ἀλλὰ βάλε αὐτῷ μετά νοιαν.

[00119] Βλέπε μὴ καταφρονήσῃς ἑκάστῃ ὥρᾳ τὰς λει τουργίας σου ἐπιτελεῖν·

[00120] αὐτὰ γὰρ φέρουσι τὸν φωτι σμὸν ἐν τῇ ψυχῇ.

[00121] Εἰ ἀγαθὰ ἐποίησας, μὴ κατακαυ χῶ·

[00122] εἰ δὲ πολλὰ ἐποίησας κακὰ, μὴ ἀμέτρως λυπη θῇς, ἀλλὰ στῆθι, μηκέτι αὐτὰ πράξεις, καὶ σωθήσῃ.

[00123] Ἐὰν ὀχλήσῃ πορνείας λογισμὸς, εὐχὴν ἀδιάλειπτον θῦσον τῷ Θεῷ, καὶ ἀναπαύσει σοι.

[00124] Ἐὰν ὁ ζῆλος καὶ ὁ φθόνος πολεμῇ τὴν καρδίαν σου, μνήσθησο, ὅτι μέλη Χριστοῦ ἐσμεν πάντες, καὶ ὅτι ἡ τιμὴ, καὶ τὸ ὄνειδος τοῦ πλησίον πάντων ἡμῶν ἐστι, καὶ φεύξεται ἀπὸ σοῦ.

[00125] Ταῦτα δὲ πάντα συνάγουσα ἡ διάκρισις καὶ ἀναλογιζομένη, τὰς μὲν ἀρετὰς περιπύσεται, τὰ δὲ πονηρὰ ἐκποδὼν ποιεῖται.

[00126] Ἀδύνατον δὲ ἐλθεῖν σοι τὴν διάκρισιν, ἐὰν μὴ πρῶτον τὰς ἀρετὰς αὐτῆς ἐπι τελέσῃς, πρὸ πάντων δὲ τὴν ἡσυχίαν.

[00127] Ἡ ἡσυχία τίκτει τὴν ἄσκησιν·

[00128] ἡ ἄσκησις τίκτει τὴν κατάνυξιν καὶ τὸν κλαυθμόν·

[00129] ὁ κλαυθμὸς τίκτει τὸν φόβον·

[00130] ὁ φόβος τίκτει τὴν ταπείνωσιν ἡ ταπείνωσις τίκτει τὸ προορᾷν·

[00131] τὸ προορᾷν τίκτει τὴν ἀγάπην·

[00132] ἡ ἀγάπη τίκτει τῇ ψυχῇ τὸ μετὰ ἀγγέλων ὁμιλεῖν.

[00133] Τότε γινώ σκει ὁ ἄνθρωπος λοιπὸν, ὅτι μακράν ἐστιν ἀπὸ Θεοῦ.

[00134] Ὁ θέλων οὖν, ἀδελφοὶ, ἐλθεῖν ἐπὶ πάσας τὰς ἐντίμους ἀρετὰς ταύτας, ἀμέριμνός τε δεῖ εἶναι ἀπὸ παντὸς πράγματος, καὶ μισῆσαι τὸν κόσμον τοῦτον·

[00135] καὶ λοι πὸν τότε ἀξιοῦται κτήσασθαι τὰς ἀρετὰς ταύτας παρὰ Κυρίου.

[00136] Τοῦτο δὲ μάθε, ἀδελφὲ, ὅτι πᾶς ἄνθρωπος ἐσθίων καὶ πίνων ἀμέτρως, ἢ ἐμπεριφερόμενος τῷ κόσμῳ τούτῳ, οὐ μὴ ἀξιωθῇ ἐλθεῖν εἰς τὰ μέτρα ταῦτα·

[00137] εἰ γὰρ κτήματα καὶ ἀμπελῶνα ἔχεις, ἢ οἰκήματα, ἤ τι τοῦ αἰῶνος τούτου, ἵνα τί καὶ γυναῖκα οὐκ ἔγημας;

[00138] τί ἑαυτὸν φρεναπατῶν ἀγνοῶν, ὅτι τὸν ἐν ἀκάνθαις σπει ρόμενον οὐ τελειοφορεῖ;

[00139] Καὶ ὁ μὴ σχολάσας, Θεὸν γνῶναι οὐ δύναται.

[00140] Καὶ τοῦτο δὲ παρακαλῶ πάντα ἄνθρωπον βουλόμενον δοῦναι μετάνοιαν τῷ Θεῷ, φυ λάξαι αὐτὸν ἀπὸ πολυοινίας·

[00141] πολλὰ γὰρ αὐτοῦ τὰ πτώματα.

[00142] Μὴ προσέχῃς οὖν εἰς πάλην, ἕως οὗ ἦς ἐν τῷ σώματι, μηδὲ πιστεύσῃς ἑαυτῷ.

[00143] Στῶμεν οὖν, ἀδελφοὶ, στῶμεν ἐν φόβῳ Κυρίου, καὶ μὴ ἐκκακή σωμεν ἐν τῇ πάλῃ.

[00144] «Οὐ γάρ ἐστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις.».

[00145] Περιβαλλώμεθα τὰ ὅπλα τῶν ἀρετῶν, ὡς ὁπλῖται·

[00146] διότι ὁ κόπος καὶ ὁ μόχθος, καὶ ἡ στενοχωρία, καὶ ἡ στενοτεία, καὶ ἡ εὐδία τῶν ἐπιθυμιῶν οὐ μόνον φυλάττουσιν ἡμᾶς ἀπὸ τῶν βελῶν τοῦ ἐχθροῦ, ἀλλὰ καὶ βασιλείας οὐρανῶν κληρονόμους ἀποκαθίστησιν.

[00147] Ἀγωνιζώμεθα οὖν, ἀδελφοὶ, ἐν τῷ καιρῷ τούτῳ τὸ βραχὺ, ἅπερ τύχωμεν βασιλείας οὐρανῶν.

[00148] Ὁ γὰρ διδάσκαλος ἡμῶν Ἰησοῦς Χριστὸς οὕτως εἴρηκεν·

[00149] «Ἀγωνίζεσθε ἕως ἐλθεῖν διὰ τῆς στενῆς πύλης, καὶ τεθλιμμένης ὁδοῦ.

[00150] Γρηγορεῖτε οὖν ἐν [28.1417] πάσῃ ὥρᾳ, ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ Κύριος ἔρχεται·

[00151] μήποτε εἰσέλθῃ ἄφνω, καὶ εὑρήσῃ ὑμᾶς καθεύδοντας.

[00152] Βλέπετε μή ποτε βαρυνθῶσιν ὑμῶν αἱ καρδίαι ἐν κραιπάλῃ καὶ μέθῃ, καὶ μερίμναις βιωτικαῖς, καὶ ἐπελεύσεται ὑμῖν ἄφνω ἡ ὥρα.

[00153] Ἰδοὺ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων.

[00154] Μὴ κτήσητε χρυσὸν, μήτε ἄργυρον, μήτε δύο χιτῶνας·

[00155] μηδὲ δειμάσητε ἀπὸ ἀποκτεινόντων τὸ σῶμα.

[00156] Εἶδον γὰρ τὸν Σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα.

[00157] Ἰδοὺ δέδωκα ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, καὶ οὐ μὴ ἀδικήσωσιν ὑμᾶς.

[00158] Καὶ οὐκ αὐτοῖς ἀποστόλοις μόνον τοῦτο δέδωκεν ὁ Κύριος, ἀλλὰ καὶ πᾶσι τοῖς βουλομένοις σωθῆναι καὶ ἀκολουθῆσαι τοῖς προστάγμασιν αὐτοῦ.

[00159] Καὶ βλέπε, ὁ ἀντιλέγων, τὰς μυριάδας τῶν ἁγίων.

[00160] Ἔδωκε γὰρ ἡμῖν τὴν ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι.

[00161] «Μὴ φοβοῦ, τὸ μικρὸν ποίμνιον, ὅτι ηὐδόκησεν ὁ Πατὴρ ὑμῶν δοῦναι ὑμῖν τὴν βασιλείαν τῶν οὐρανῶν.

[00162] Πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν, καὶ δότε ἐλεημοσύνην, καὶ ἕξετε βαλάντια μὴ παλαιούμενα, θησαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς.».

[00163] Ποιησάντων δὲ τῶν ἁγίων μαθητῶν αὐτοῦ καὶ ταύτην τὴν ἐντολὴν, εἴρηκε πρὸς αὐτούς·

[00164] «Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν.».

[00165] «Ὁ» γὰρ «ἀγαπῶν με τὰς ἐντολάς μου τηρήσει·

[00166] κἀγὼ καὶ ὁ Πατὴρ ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα.».

[00167] Ὑποδεικνύων δὲ ἡμᾶς γενναίως ὑποφέρειν τοὺς πειρασμοὺς καὶ τὰ παλαίσματα, εἴρηκεν·

[00168] Ἐν τῷ κόσμῳ θλίψιν ἕξετε.

[00169] Ἀλλὰ «θαρσεῖτε·

[00170] ἐγὼ νενίκηκα τὸν κόσμον.

[00171] Ὑμεῖς δέ ἐστε οἱ δι' ἐμὲ μεμενηκότες ἐν τοῖς πειρασμοῖς μου, κἀγὼ διατίθημι ὑμῖν, καθὼς διέθετό μοι ὁ Πατήρ μου βασιλείαν, ἵνα ἐσθίητέ τε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου.».

[00172] Ταῦτα δὲ οὐ πᾶσι λέγει, ἀλλὰ τοῖς ὑπομένουσι τοῖς πειρασμοῖς, καὶ ταῖς θλίψεσιν ἐν μακροθυμίᾳ.

[00173] Ἀπερχόμενος ἐπὶ τὸ ἅγιον πάθος τοῦ σταυροῦ ὁ Κύριος, οὕτως ἔφη·

[00174] Ὁ θέλων ἐσθίειν καὶ πίνειν ἐπὶ τῆς τραπέζης μου, συμπορεύσαι μετ' ἐμοῦ ἐπὶ τὸν σταυρόν·

[00175] τουτέστι νεκρωθήτω καὶ αὐτὸς τῷ κόσμῳ, ὡς ἐγὼ, διὰ τῆς τῶν ἐντολῶν μου πράξεως.

[00176] Ἀκούσας δὲ ὁ ἀπόστολος Παῦλος, καὶ ἐκκόψας αὐτοῦ πάντα τῆς σαρκὸς φρονήματα, ἐτόλμα λέγειν·

[00177] «Χριστῷ συσταυροῦμαι.

[00178] Ζῶ δὲ οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός.».

[00179] Καὶ γὰρ ἐφ' ὅσον σαρκικὰ περιπατῶμεν, νεκροί ἐσμεν ταῖς ἁμαρτίαις.

[00180] Φησὶ γάρ·

[00181] «Οἱ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις.».

[00182] Καὶ εἰ συναποθάνομεν, καὶ συζήσομεν.

[00183] Εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν αὐτῷ·

[00184] εἰ ἀρνούμεθα, κἀκεῖνος ἀρνήσεται ἡμᾶς.

[00185] Τίς οὖν ἐστιν ὁ ἀρνούμενος ἢ ὁ κατὰ τὰς ἐπιθυμίας τῆς σαρκὸς περιπατῶν;

[00186] Οὗτος γάρ ἐστιν ὁ ἐνυβρίζων τῷ βαπτίσματι.

[00187] Καὶ τίς ἐστιν ὁ μὴ ἐνυβρίσας ἐξ ἡμῶν τὸ βάπτισμα διὰ τὰ τοῦ πονηροῦ ποικίλα μηχανήματα;

[00188] Ἀλλὰ διὰ τὴν πολλὴν ἀγάπην αὐτοῦ, ἣν ἠγάπησεν ἡμᾶς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ἔδω [28.1420] κεν ἡμῖν τὴν μετάνοιαν ἕως ἐσχάτης ἀναπνοῆς.

[00189] Εἰ μὴ γὰρ ἦν μετάνοια, οὐκ ἂν ἐσώθη πᾶσα σὰρξ, ὥς φησιν ὁ Κύριος·

[00190] «Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, οὐ χαίρει ὁ Θεὸς ἐπὶ ἐνενήκοντα ἐννέα δικαίοις, ὡς ἐφ' ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι.».

[00191] Σπουδάσωμεν, ἀδελφοὶ, μετανοῆσαι, ἕως ἐσμὲν ἐν τῷ σώματι, κλαύσωμεν, καὶ πλύνωμεν τὰ τῆς καρδίας κρυπτὰ τραύματα.

[00192] Μέλλει γὰρ φανεροῦσθαι τὰ ἐν ἡμῖν πεπραγμένα δεινὰ ἐπὶ τοῦ φοβεροῦ βήματος ἐκείνου.

[00193] Ἤγγικε γὰρ ὁ Κύριος, καὶ ἔρχεται ἐπὶ θρόνου δόξης ἁγίου αὐτοῦ, καὶ συναχθήσονται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη.

[00194] Καὶ ἕκαστος φανεροῦται ἐκ τῆς ἰδίας λαμπάδος·

[00195] ὅστις δὲ οὐ κέκτηται ἔλαιον, σβεσθήσεται αὐτοῦ ἡ λάμπας·

[00196] κἀκεῖνος πορευθῇ ἐν τῷ ἐξωτέρῳ σκότει.

[00197] Σπουδάσωμεν οὖν, ἀδελφοὶ, καὶ πλήσωμεν τὰ ἀγγεῖα ἡμῶν ἐλαίου, ἵνα μὴ ῥιφῶμεν ἐν τῷ σκότει καὶ αἰωνίῳ πυρί.

[00198] Τὸ γὰρ ἀγγεῖόν ἐστιν ἡ μετάνοια·

[00199] τὸ δὲ ἔλαιον τῶν ἀρετῶν ἡ πρᾶξις·

[00200] ἡ δὲ φωτεινὴ λαμπὰς ὑπάρχει ἡ ἁγία ψυχή.

[00201] Ἀγωνιζώμεθα οὖν, ἀδελφοὶ, ὅτι ἤγγικεν ἡ ἡμέρα.

[00202] Μακάριος ἄνθρωπος ὁ ἔχων τὴν μέριμναν ταύτην καθ' ἑκάστην ἡμέραν καὶ ὥραν.

[00203] Ὁ γὰρ καρπὸς ὄψιμος γεγονὼς καιρός ἐστι τοῦ θερισμοῦ.

[00204] Μακάριός ἐστιν ἐκεῖνος ὁ σώσας τὸν καρπὸν αὐτοῦ·

[00205] συνάξουσιν αὐτὸν οἱ ἄγγελοι εἰς τὴν αἰώνιον ἀποθήκην.

[00206] Οὐαὶ δὲ τοῖς ὁμοίοις μου, τουτέστι τοῖς ζιζανίοις, ὅτι τὸ πῦρ αὐτοὺς κληρονομήσει.

[00207] Φύγωμεν οὖν, ὦ ἀδελφοὶ, τὸν κόσμον, καὶ πάντα τὰ ἐν αὐτῷ, ὅπερ κληρονομήσωμεν τὰ ἀγαθὰ ἐκεῖνα, «ἃ ὁ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν.».

[00208] Τὸ λοιπὸν, ὦ ἀδελφοὶ, ἐν τούτοις στῆτε, ταῦτα μελετᾶτε, καὶ μὴ ἀμελήσητε, ὅπερ ἀξιώση ὑμᾶς Κύριος τηρῆσαι τὴν ἐντολὴν ταύτην ἡμέρας καὶ νυκτὸς, καὶ σώση εἰς τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον.

[00209] Ὅστις ἀναγινώσκει τὰς ἐντολὰς ταύτας, ἢ ἀκούει, καὶ μὴ ποιεῖ αὐτὰς, πεπλήρωται ἐν αὐτῷ ὁ σπόρος ὁ πεσὼν εἰς τὴν πέτραν, καὶ διὰ τὸ μὴ ἔχειν γῆν, παραχρῆμα ἐξηράνθη.

[00210] Ὁ δὲ ἀναγινώσκων καὶ ποιῶν ἐστιν ὁ σπόρος ὁ πεσὼν εἰς τὴν γῆν τὴν ἀγαθὴν, καὶ ἐκαρποφόρησεν ἓν λ', καὶ ἓν ξ', καὶ ἓν ρ', ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα.

[00211] Ἀμήν.

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0295-0373 - Athanasius Alexandrinus - Magnus - Sermo pro iis qui saeculo renuntiarunt**
**Litterarum Omnium Conspectus: 127 Litterae, quae repetitae sunt in 11,580 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 860 | Α | 0913 | 11 |
| β | 0946 | 55 | Β | 0914 | 2 |
| γ | 0947 | 164 | Γ | 0915 | 4 |
| δ | 0948 | 195 | Δ | 0916 | 0 |
| ε | 0949 | 546 | Ε | 0917 | 9 |
| ζ | 0950 | 34 | Ζ | 0918 | 1 |
| η | 0951 | 172 | Η | 0919 | 1 |
| θ | 0952 | 165 | Θ | 0920 | 30 |
| ι | 0953 | 522 | Ι | 0921 | 5 |
| κ | 0954 | 395 | Κ | 0922 | 25 |
| λ | 0955 | 263 | Λ | 0923 | 3 |
| μ | 0956 | 357 | Μ | 0924 | 17 |
| ν | 0957 | 929 | Ν | 0925 | 4 |
| ξ | 0958 | 48 | Ξ | 0926 | 1 |
| ο | 0959 | 706 | Ο | 0927 | 13 |
| π | 0960 | 388 | Π | 0928 | 14 |
| ρ | 0961 | 411 | Ρ | 0929 | 4 |
| ς | 0962 | 424 | • | 0930 | 0 |
| σ | 0963 | 461 | Σ | 0931 | 9 |
| τ | 0964 | 892 | Τ | 0932 | 28 |
| υ | 0965 | 211 | Υ | 0933 | 5 |

| | | | | | |
|---|---|---|---|---|---|
| φ | 0966 | 84 | Φ | 0934 | 7 |
| χ | 0967 | 88 | Χ | 0935 | 12 |
| ψ | 0968 | 28 | Ψ | 0936 | 0 |
| ω | 0969 | 128 | Ω | 0937 | 1 |
| ῤ | 8164 | 4 | | | 0 |
| ῥ | 8165 | 5 | Ῥ | 8172 | |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 135 | έ | 8051 | 91 | ή | 8053 | 69 | ί | 8055 | 201 | ό | 8057 | 109 | ύ | 8059 | 88 | ώ | 8061 | 50 |
| ὰ | 8048 | 121 | ὲ | 8050 | 56 | ὴ | 80852 | 115 | ὶ | 8054 | 149 | ὸ | 8056 | 164 | ὺ | 8058 | 21 | ὼ | 8060 | 11 |
| ᾶ | 8118 | 17 | | | 0 | ῆ | 8134 | 69 | ῖ | 8150 | 90 | | | 0 | ῦ | 8166 | 124 | ῶ | 8182 | 83 |
| ἀ | 7936 | 158 | ἐ | 7952 | 194 | ἠ | 7968 | 1 | ἰ | 7984 | 31 | ὀ | 8000 | 8 | ὐ | 8016 | 99 | ὠ | 8032 | 0 |
| ἁ | 7937 | 9 | ἑ | 7953 | 25 | ἡ | 7969 | 68 | ἱ | 7985 | 6 | ὁ | 8001 | 48 | ὑ | 8017 | 30 | ὡ | 8033 | 6 |
| ἂ | 7938 | 1 | ἒ | 7954 | 0 | ἢ | 7970 | 5 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 0 |
| ἃ | 7939 | 2 | ἓ | 7955 | 3 | ἣ | 7971 | 1 | ἳ | 7987 | 0 | ὃ | 8003 | 1 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 24 | ἔ | 7956 | 28 | ἤ | 7972 | 4 | ἴ | 7988 | 6 | ὄ | 8004 | 4 | ὔ | 8020 | 0 | ὤ | 8036 | 0 |
| ἅ | 7941 | 2 | ἕ | 7957 | 8 | ἥ | 7973 | 0 | ἵ | 7989 | 19 | ὅ | 8005 | 26 | ὕ | 8021 | 17 | ὥ | 8037 | 6 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 1 | ἶ | 7990 | 7 | | | 0 | ὖ | 8022 | 11 | ὦ | 8038 | 3 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 0 | ἷ | 7991 | 1 | | | 0 | ὗ | 8023 | 3 | ὧ | 8039 | 0 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 1 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 0 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 1 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 1 |
| ᾳ | 8115 | 8 | | | 0 | ῃ | 8131 | 31 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 17 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 0 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 5 | | | 0 | ῇ | 8135 | 32 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 47 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.

## Verborum Omnium Conspectus: 1,090Verba, quae repetita sunt in 4,131,159 occasionibus

---

**ἃ** [00207] [00207]
**ἀγαθὰ** [00121] [00207]
**ἀγαθὴν** [00210]
**ἀγαθὸν** [00032]
**Ἀγαθὸς** [00065]
**ἀγαθότης** [00055]
**ἀγάπα** [00104]
**ἀγαπᾷν** [00071] [00088]
**ἀγάπη** [00097] [00132]
**ἀγάπην** [00014] [00051] [00080] [00131] [00188]
**Ἀγάπησον** [00016] [00021]
**Ἀγαπητοὶ** [00003]
**ἀγαπῶν** [00165]
**ἀγαπῶσιν** [00207]
**ἀγγεῖα** [00197]
**ἀγγεῖόν** [00198]
**ἄγγελοι** [00205]
**ἀγγέλων** [00132]
**ἄγει** [00073]
**ἁγία** [00200]
**ΑΓΙΟΙΣ** [00001]
**ἅγιον** [00173]
**ἁγίου** [00193]
**ἁγίους** [00022]
**ἁγίων** [00159] [00163]
**ἁγνείαν** [00055]
**ἄγνοιαν** [00085]
**ἀγνοῶν** [00138]
**ἄγνωστον** [00040]
**ἀγρυπνία** [00060] [00062] [00063]
**ἀγρυπνίαν** [00064]
**ἀγρυπνούντων** [00065]
**Ἀγωνίζεσθε** [00149]
**Ἀγωνιζώμεθα** [00147] [00201]
**ἀδελφὲ** [00014] [00136]
**ἀδελφοὶ** [00134] [00143] [00147] [00191] [00197] [00201] [00207] [00208]
**ἀδελφοί** [00029]
**ἀδιάλειπτον** [00123]
**ἀδικήσωσιν** [00157]
**Ἀδύνατον** [00126]
**ἀεὶ** [00024]
**ΑΘΑΝΑΣΙΟΥ** [00001]
**ἀθετεῖ** [00105]
**αἱ** [00152]
**αἷμα** [00144]
**αἰσχρὰν** [00090]
**αἰώνιον** [00205]
**αἰωνίῳ** [00197]
**αἰῶνος** [00137] [00144]
**ἄκανθα** [00008]
**ἀκάνθαις** [00138]
**ἀκηδία** [00046] [00058]
**ἀκηδίαν** [00083]
**ἀκοήν** [00108]
**ἀκολουθῆσαι** [00158]
**ἀκούει** [00209]
**ἀκοῦσαι** [00110]
**ἀκούσας** [00010]
**Ἀκούσας** [00176]
**ἀκτημοσύνη** [00089]
**ΑΛΕΞΑΝΔΡΕΙΑΣ** [00001]
**ἀλήθειαν** [00014]
**Ἀλήθειαν** [00104]
**ἀλλ** [00040]
**ἀλλὰ** [00014] [00040] [00118] [00122] [00144] [00146] [00158] [00172]
**Ἀλλὰ** [00169] [00188]
**Ἀμαλὴκ** [00018]
**ἁμαρτήσεις** [00023]
**ἁμαρτίαις** [00179]
**ἁμαρτωλῷ** [00190]
**ἀμελήσητε** [00208]
**ἀμέριμνός** [00134]
**ἀμέτρως** [00122] [00136]
**ἀμὴν** [00190]
**Ἀμὴν** [00190]
**Ἀμήν** [00211]
**ἀμνησι** [00014]
**ἀμπέλῳ** [00093]
**ἀμπελῶνα** [00137]
**ἂν** [00189]
**ἀναγινώσκει** [00209]
**ἀναγινώσκων** [00210]
**ἀνακαινισμὸς** [00076]
**ἀνάκρινε** [00028]
**ἀναλογιζομένη** [00125]
**ἀναμιμνήσκου** [00024]
**ἀναπαύσει** [00123]
**ἀναπνοῆς** [00188]
**ἄνδρα** [00045]
**ἀνέβη** [00207]
**ἀνέκλειπτον** [00162]
**ἀνελεημοσύνη** [00052]
**ἄνθος** [00062]
**ἄνθρωπον** [00047] [00067] [00140]
**ἄνθρωπος** [00006] [00007] [00008] [00133] [00136] [00202]
**ἀνθρώπου** [00110] [00207]
**ἀνθρώπῳ** [00040]
**ἀνθρώπων** [00068] [00092]
**ἀνοικοδόμει** [00028]
**ἀνταποδώσεις** [00110]
**ἀντιλέγων** [00159]
**ἀντίτητον** [00047]
**ἀνυποταξία** [00054]
**ἄνω** [00080]
**ἀξιοῦται** [00135]
**ἀξιωθῇ** [00136]
**ἀξιώσῃ** [00208]
**ἀοράτως** [00027]
**ἀοργησία** [00069]

**ἀπ** [00035]
**ἀπαιδευσία** [00050]
**ἀπανθρωπίαν** [00052]
**ἀπελθεῖν** [00117]
**ἅπερ** [00147]
**Ἀπερχόμενος** [00173]
**ἀποθήκην** [00205]
**ἀποκαθίσταται** [00114]
**ἀποκαθίστησιν** [00146]
**ἀποκτεινόντων** [00155]
**ἀποστέλλω** [00153]
**ἀποστόλοις** [00158]
**ἀπόστολος** [00010] [00176]
**ἀποταξαμένοις** [00002]
**ἀπρόσδεκτός** [00103]
**ἀπώλειαν** [00048] [00070]
**ἀργία** [00112]
**ἄργυρον** [00154]
**ἀρέσκειν** [00007] [00009]
**ἀρεταῖς** [00049]
**ἀρετὰς** [00125] [00126] [00134] [00135]
**ἀρετάς** [00071] [00081] [00084]
**ἀρετὴν** [00050]
**ἀρετήν** [00022]
**ἀρετῶν** [00046] [00053] [00095] [00097] [00145] [00199]
**ἀρκεσθησώμεθα** [00012]
**ἀρνήσεται** [00184]
**ἀρνούμεθα** [00184]
**ἀρνούμενος** [00185]
**ἄρτι** [00035]
**ἄρτον** [00111]
**ἀρχὰς** [00144]
**ἄσκησιν** [00127]
**ἄσκησις** [00128]
**ἄσκησον** [00014]
**ἀστραπὴν** [00156]
**ἀταράχως** [00100]
**ἀτόπους** [00013]
**αὐ** [00010]
**αὐτὰ** [00091] [00120] [00122]
**αὐτά** [00074] [00091]
**αὐτὰς** [00209]
**αὐτῇ** [00094]
**αὐτήν** [00024] [00063]
**αὐτῆς** [00007] [00024] [00093] [00126]
**αὐτὸ** [00099]
**αὐτό** [00028]
**αὐτοῖς** [00039] [00158]
**αὐτὸν** [00110] [00205]
**αὐτόν** [00207]
**αὑτὸν** [00140]
**αὐτὸς** [00175]
**αὐτοῦ** [00031] [00039] [00041] [00092] [00094] [00141] [00158] [00163] [00176] [00188] [00193] [00193] [00195] [00204] [00208]
**αὐτοὺς** [00206]
**αὐτούς** [00029] [00163]
**αὐτῷ** [00011] [00038] [00041] [00092] [00118] [00118] [00166] [00183] [00207] [00209]
**αὐτῶν** [00021] [00022]
**ἀφανίζει** [00093] [00094] [00099] [00099]
**ἀφίημι** [00164]
**ἄφνω** [00151] [00152]
**Ἀχρεῖοι** [00034]

**βαλάντια** [00162]
**βάλε** [00118]
**βάπτισμα** [00187]
**βαπτίσματι** [00186]
**βαρυνθῶσιν** [00152]
**βασάνων** [00025]
**βασιλείαν** [00024] [00161] [00171] [00208]
**βασιλείας** [00146] [00147]
**βελῶν** [00146]
**βήματος** [00017] [00192]
**βιβρώσκεται** [00092]
**βίου** [00081]
**βιωτικαῖς** [00152]
**βλάβην** [00110]
**Βλέπε** [00119]
**βλέπε** [00159]
**βλέπει** [00089]
**βλέπειν** [00084]
**Βλέπετε** [00152]
**βλέπων** [00107]
**βοή** [00046]
**βοήθεια** [00102]
**βόλου** [00013]
**βουλόμενοι** [00013]
**βουλομένοις** [00158]
**βουλόμενον** [00140]
**βουλόμενος** [00042]
**βραχὺ** [00147]
**βρώμασιν** [00018]

**γὰρ** [00005] [00013] [00027] [00036] [00039] [00065] [00105] [00107] [00112] [00120] [00137] [00141] [00148] [00156] [00160] [00165] [00179] [00189] [00192] [00193] [00198] [00203]
**γάρ** [00031] [00033] [00044] [00144] [00180] [00186]
**γαστριμαργία** [00096]
**γεγονὼς** [00203]
**γέγραπται** [00044]
**γέενναν** [00025]
**γέλως** [00066]
**γενέσθαι** [00160]
**γενναίως** [00167]
**γῆν** [00005] [00209] [00210]
**γινομένην** [00064]
**γινώ** [00133]
**γλυκὺ** [00007]
**γλώσσης** [00050]
**γλώττης** [00049]
**γνώ** [00043]
**γνῶναι** [00139]
**γνωρίσαι** [00091]
**γνώσει** [00051]
**Γοργεύου** [00019]

**Γρηγορεῖτε** [00150]
**γυναῖκα** [00107] [00137]

**δαι** [00114]
**δαίμονας** [00038]
**δαίμονος** [00109]
**δὲ** [00012] [00014] [00048] [00050] [00052] [00054] [00056] [00058] [00060] [00062] [00063] [00064] [00066] [00068] [00070] [00072] [00074] [00076] [00078] [00079] [00081] [00083] [00085] [00087] [00089] [00091] [00096] [00098] [00101] [00114] [00122] [00125] [00125] [00126] [00126] [00136] [00140] [00163] [00167] [00172] [00176] [00178] [00178] [00195] [00199] [00200] [00206] [00210]
**δέ** [00171]
**δέδωκα** [00157]
**δέδωκεν** [00158]
**δεῖ** [00134]
**δειμάσητε** [00155]
**δεινὰ** [00192]
**δεινῶν** [00025]
**δῆλον** [00038] [00041]
**δηλοποιεῖται** [00049] [00090]
**Δι** [00011]
**δι** [00073] [00171]
**διὰ** [00021] [00149] [00175] [00187] [00188] [00209]
**δια** [00013]
**Διάδος** [00017]
**διάκρισιν** [00126]
**διάκρισις** [00125]
**διακριτικὸς** [00002]
**διαλογίζου** [00025]
**διάνοιαν** [00082]
**διατίθημι** [00171]
